Ἀλλὰ τίη τοι ταῦτα διεξερέεαι ἕκαστα;
Τὴν δ᾽ οὔτ᾽ ἀθρῆσαι δύναμ᾽ ἀντίον, οὔτε νοῆσαι.
Ὁπποῖον κ᾽ εἴπησθα ἔπος, ποῖόν κ᾽ ἐπακούσῃς.

---

## ΕΙΣ ΘΑΛΑΣΣΑΝ, κεφ. λϛ.

### ΚΡΙΝΑΓΟΡΟΥ.

Λῶπος ἀποκλύζουσα παρὰ κροκάλῃσι θαλάσσης
Χερνῆτις, δειλοῦ τυτθὸν ὕπερθε πάγου,
Χέρσον ἐπεκβαίνοντι κατασπασθεῖσα κλύδωνι,
Δειλαίη πικροῦ κῦμ᾽ ἔπιεν θανάτου.
Πνεῦμα δ᾽ ὁμοῦ πενίῃ ἀπελύσατο. τίς κ᾽ ἐνὶ νηῒ
Θαρσήσαι πεζοῖς τὴν ἀφύλακτον ἅλα;

### ΑΝΤΙΦΙΛΟΥ βυζαντίου.

Εὐβοϊκοῦ κόλποιο παλινδίνητε θάλασσα,
Πλαγκτὸν ὕδωρ, ἰδίοις ῥεύμασιν ἀντίπαλον,
Ἠελίῳ κὴν νυκτὶ τεταγμένον, ἐς τρὶς ἄπιστον
Ναυσὶν ὅσον πέμπεις χεῦμα δανειζόμενον,
Θαῦμα βίου, θαμβῶ σε τὸ μυρίον, οὐδὲ μαθεῖν
Σὴν στάσιν. ἀρρήτῳ ταῦτα μέμηλε φύσει.

---

## ΕΙΣ ΘΑΝΑΤΟΝ, ΚΑΙ ΕΙΣ θανόντας, κεφ. λζ.

### ΑΓΑΘΙΟΥ.

Τὸν θάνατον τί φοβεῖσθε, τὸν ἡσυχίης γενετῆρα;
Τὸν παύοντα νόσους, καὶ πενίης ὀδύνας;
Μοῦνος ἅπαξ θνητοῖς παραγίγνεται, οὐδέ ποτ᾽ αὐτὸν
Εἶδέ τις θνητῶν δεύτερον ἐρχόμενον.